παισὶν οὐ κατειδὼς
ὄλεθρον βιοτᾷ προσάγεις, ἀλόχῳ
τε σᾷ στυγερὸν θάνατον.
δύστανε μοίρας, ὅσον παροίχει.
μεταστένομαι δὲ σὸν ἄλγος, ὦ τάλαινα παί-
δων antistr.
μᾶτερ, ἃ φονεύσεις
τέκνα νυμφιδίων ἕνεκεν λεχέων,
ἅ σοι προλιπὼν ἀνόμως
ἄλλῃ ξυνοικεῖ πόσις συνεύνῳ.
ΠΑΙ. δέσποιν᾽, ἀφεῖνται παῖδες οἵδε σοὶ φυγῆς,
καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
ἐδέξατ᾽· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
ἔα.
τί συγχυθεῖσ᾽ ἕστηκας ἡνίκ᾽ εὐτυχεῖς;
ΜΗ. αἰαῖ.
ΠΑΙ. τάδ᾽ οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.
ΜΗ. αἰαῖ μάλ᾽ αὖθις. ΠΑΙ. μῶν τιν᾽ ἀγγέλλων τύχην
οὐκ οἶδα, δόξης δ᾽ ἐσφάλην εὐαγγέλου;
ΜΗ. ἤγγειλας οἷ᾽ ἤγγειλας· οὐ σὲ μέμφομαι.
ΠΑΙ. τί δὴ κατηφεῖς ὄμμα καὶ δακρυρροεῖς;
ΜΗ. πολλή μ᾽ ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ
κἀγὼ κακῶς φρονοῦσ᾽ ἐμηχανησάμην.
ΠΑΙ. θάρσει· κάτει τοι καὶ σὺ πρὸς τέκνων ἔτι.
ΜΗ. ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν᾽ ἐγώ.
ΠΑΙ. οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων·
κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
ΜΗ. δράσω τάδ᾽. ἀλλὰ βαῖνε δωμάτων ἔσω
καὶ παισὶ πόρσυν᾽ οἷα χρὴ καθ᾽ ἡμέραν.
ὦ τέκνα τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
καὶ δῶμ᾽, ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ
οἰκήσετ᾽ ἀεὶ μητρὸς ἐστερημένοι·

---

τί σὴν ἔστρεψας ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ᾽ ἐξ ἐμοῦ δέχει λόγον;

---

1005. *ἔα* Medeae tribuunt libri. 1012. *τί δή*] Musurus, *τί δέ* libri (*τί δαί* E) 1015. *κάτει*] Porsonus, *κρατεῖς* libri.